τα σιγᾶν, ἀλλὰ σιγῆς ἑαυτὸν πάσης ἐκλιτεύει, καὶ διὰ
πάντων ὑπεύθυνον, ὃς τὴν κακίαν ἐξ ἀπονοίας πώρωσιν
σιγῆς ἡμῖν αἰτίαν ἐπέσειεν. Διὸ δὴ συνάψας καὶ τὰ λεί-
ποντα ὁ φιλάνθρωπος ἡμῶν σωτὴρ καὶ ὑπεράγαθος, ὁ
τὰς ἁμαρτίας ἐπιδημήσας ἄρας τοῦ κόσμου, τῶν ἄλ-
λων νοσημάτων καὶ παθῶν τὸ γένος ἐλευθερῶν, καὶ τὴν
τῶν ἁμαρτημάτων πολλοῖς ἄφεσιν ἐχαρίζετο, καὶ τὴν ἀ-
πόδειξιν τῆς ἀφέσεως ἀπὸ τῆς τοῦ σώματος θεραπείας
ἐλάμβανέ τε καὶ παρεῖχετο. Καίπερ εἰ πονηρᾶς ἦν τὸ σῶ-
μα διαπλάσεως, ὡς ἡ βλασφημία θρασύνεται· οὐκ ἂν ἦν
δυνατὸν τὸ μόνης τῆς ἀγαθῆς θεότητος ἀγαθοέργημα, τὴν
τῶν πλημμελημάτων συγχώρησιν, τὸ πιστὸν καὶ βέβαιον
διὰ τῆς κακίας ἐπιδέχεσθαι. Οὐδὲν γάρ ἐστιν ἄλλο λέγειν, ἢ
τὴν τῆς κακίας σύστασιν πηγάζειν τῆς ἀγαθότητος τὴν
ἐνέργειαν· εἴπερ ἡ μὲν ἄφεσις τῶν ἁμαρτημάτων ἐκ τῆς
τῶν σωμάτων θεραπείας πρόεισι, τὰ δὲ τῆς κακίας
ὑπάρχει γεννήματα. Ἀλλ' ὁ σωτὴρ οὐ μόνον λόγῳ τὰς
τῶν σωμάτων θεραπείας ἐβράβευεν, ἀλλὰ καὶ χειρί.
Πάλιν ἀλλαχοῦ κρατεῖ χειρὸς ἧς μὴ πλάσεως ἦν, καὶ
τὸ κοράσιον ἐγείρει καὶ τὸν υἱὸν ἀνίστα τῆς χήρας, καὶ
τὸ καλῶς ἀποσκευασθὲν τῆς ψυχῆς σῶμα πάλιν ἐπα-
ναστρέφει, καὶ συνάπτει ταύτῃ, ὃ κακὸν μὲν ἦν κατὰ
τὴν θεομάχον γλῶτταν, μηδ' ὅλως λαβεῖν, δεύτε-
ρον δὲ λαβοῦσαν θᾶττον ἀποθέσθαι, χείριστον δὲ καὶ κα-
τὰ τὴν ἀπόθεσιν συναφθῆναι πάλιν. Καὶ ὁ τὸ κράτος
ἐλθὼν καταλῦσαι τοῦ ἐχθροῦ, πάσῃ δυνάμει κρατοῦ-
σιν